## ΑΡΧΗ ΤΟΥ ΒΡΕΒΙΟΥ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΠΑΝΟΙΚΤΙΡΜΟΝΟΣ.

Εὐλογητὸς κύριος ὁ θεὸς ὁ ἐν τριάδι τοῖς εὐσεβέσιν ὑμνούμενός τε καὶ γνωριζόμενος, καὶ τῷ τριλαμπεῖ τούτῳ φωτὶ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πάντα φωτίζων καὶ διϊθύνων ὅσα τε ἐν κόσμῳ καὶ ὅσα δὴ ὑπερκόσμια καὶ τῆς ὕλης ὑπέρτερα, δι᾽ οὗ κἀμοὶ σημεῖον εἰς ἀγαθὸν καὶ θαυμασίων χάρις προσγέγονεν· ἐκεῖθεν γὰρ ἐκ τῆς θείας προνοίας καὶ ἀπειροδυνάμου μεγαλειότητος, ἐκ χειρῶν ἀλαστορικῶν ἔν τε πολέμοις Περσικοῖς καὶ Ἀρραβικοῖς καὶ αὖ πάλιν Σκυθικοῖς ἀνηρπάγην, καὶ τῇ προσούσῃ μοι ἀσθενείᾳ σθένος ἐπετέθη παράδοξον καὶ ἰσχὺς, πανωλεθρίαν τοιαύτην ἀπείργουσα· οὐ μὴν δὲ ἀλλὰ καὶ ἐκ βυθοῦ με θαλάσσης ὑπὲρ ἐλπίδα πολλάκις ἀνασωθῆναι πεποίηκεν ἡ θεία ἀντίληψις, καὶ τοσούτων καὶ τηλικούτων κινδύνων λύτρωσις ἐχαρίσθη σωτηριώδης· ἀνακηρύττειν γὰρ τὸν ἔλεον, καὶ τὴν εὐεργεσίαν μὴ κρύπτειν ἀεὶ προτεθύμημαι, ὅτι ὄντως μέγας ὁ κύριος καὶ αἰνετὸς σφόδρα, θαυμαστὸς ἐν ὑψηλοῖς, καὶ ποιῶν θαυμάσια μόνος· ὁ τοιαῦτά μοι δείξας πρὸ ὀφθαλμῶν ὑπερμεγέθη ζωῆς καὶ σωτηρίας χαρίσματα· καὶ οὐ μόνον διασώσας, ἀλλὰ καὶ πρὸς βίου εὔροιαν καὶ εὔκλειαν ὁδηγήσας, καὶ στήσας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατευθύνας τὰ διαβήματά μου κατὰ πάντα καιρὸν καὶ τόπον καὶ προσδοκίαν· ὅθεν καὶ μαρτυρικὴν δανεισάμενος τὴν φωνὴν, μετὰ δακρύων καὶ συντετριμμένης βοῶ τῆς ψυχῆς, ἵνα εὕροιμι τὸν πανοικτίρμονα δεσπότην καὶ κύριον καὶ θεόν μου ἵλεον ἐν ἡμέρᾳ τῆς κρίσεως, ἐπὶ συμπαθείᾳ καὶ παροράσει τῶν ἐμῶν ἀπείρων πλημμελημάτων. Ἡ δὲ ἱκετήριός μοι αὕτη φωνή· μεγαλύνων μεγαλύνω σε κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν μου, ἀλλ᾽ ἔσωσας ἐκ τῶν